ἐναντιώτατος. νομίζω δύο τὰ ἐναντιώτατα εὐβουλίᾳ εἶναι, τάχος καὶ ὀργὴν II, 231. νόμοις μέν ἐστι καὶ τῷ σωφρονεστάτῳ ἐναντιώτατον, ἐγγυτάτω δὲ τυράννου, δυναστεία ὀλίγων ἀνδρῶν II, 261.

ἐναποθνήσκω. θῆκαι ὅσαι ἦσαν τῶν τεθνεώτων ἐν Δήλῳ, πάσας ἀνεῖλον, καὶ τολοιπὸν προεῖπον μήτε ἐναποθνήσκειν ἐν τῇ νήσῳ, μήτε ἐντίκτειν II, 321. τὰ ἱερὰ νεκρῶν πλέα ἦν αὐτοῦ ἐναποθνησκόντων II, 79.

ἐναποκλάω. οὔτε γὰρ οἱ πῖλοι ἔστεγον τὰ τοξεύματα, δοράτιά τε ἐναποκέκλαστο βαλλομένων III, 55.

ἐνδεής. ἐδόκουν αἱ ξυνθῆκαι ἐνδεεῖς εἶναι, καὶ οὐ πρὸς σφῶν μᾶλλον V, 54. τῇ παρασκευῇ ναυμαχία ἐνδεὴς ἐγένετο II, 139. νομίσας, ὅπερ πάσχουσιν ἐν τοῖς μεγάλοις ἀγῶσι, πάντα τε ἔργα ἔτι σφίσιν ἐνδεᾶ εἶναι IV, 287. ἵνα μὴ τὸ, κατ' ὀλίγον καὶ μὴ ἅπαντας κινδυνεύειν ἐνδεὲς φαινόμενον, ἀτολμίαν παράσχῃ III, 216. τῆς δυνάμεως ἐνδεᾶ πρᾶξαι I, 98. τοῦ πλείονος μὴ στερισκόμενοι, — ἀλλὰ τοῦ ἐνδεοῦς I, 110. οἱ φαυλότεροι γνώμην ὡς τὰ πλείω περιεγίγνοντο· τῷ γὰρ δεδιέναι τὸ αὐτῶν ἐνδεὲς, καὶ τὸ τῶν ἐναντίων ξυνετὸν, τολμηρῶς πρὸς τὰ ἔργα ἐχώρουν II, 293.

ἐνδεέστερος. ἠξίουν σφίσι μηδὲν ἐναντιοῦσθαι, ἀλλὰ καὶ τὰ δυνατὰ ἐν ἴσῳ καὶ τὰ ἀπορώτερα, μεγάλῃ τε ὁμοίως καὶ ἐνδεεστέρᾳ παρασκευῇ κατεργάζεσθαι III, 95.

ἐνδεεστέρως. εὔνους ἀκροατὴς ἐνδεεστέρως πρὸς ἃ βούλεται νομίζει δηλοῦσθαι II, 54. ἐνδεεστέρως ἑκάστῳ παρεῖχεν ἢ πρὸς τὴν ἐξουσίαν III, 61.

ἔνδεια. ὁμολογία γίγνεται, ὥστε ὅπλα τε παραδοῦναι, καὶ μὴ ἀποθανεῖν μηδένα, μήτε βιαίως, — μήτε ἀναγκαιοτάτης ἐνδείᾳ διαίτης IV, 316. δυνάμεως ἐνδείᾳ III, 27.

ἐνδείκνυμι. — οἱ δ᾽ ἂν εἴξωσιν αὐτοῖς, τὸ εὔψυχον ἐν τῷ ἀσφαλεῖ ὀξεῖς ἐνδείκνυνται III, 189.

ἑνδεκαταῖος. ὁδῷ ταξυντομώτατα ἐξ Ἀβδήρων ἐς Ἴστρον ἀνὴρ εὔζωνος ἑνδεκαταῖος τελεῖ II, 158. vid. εὔζωνος.

ἐνδέχομαι. ὅσα ἐς ἀνάγκην ἀφῖκται, λογισμὸν ἥκιστα ἐνδεχόμενα, κινδύνου τοῦ ταχίστου προσδεῖται III, 15. ἢν ἄρα σφαλῆτε, ἃ πολλὰ ἐνδέχεται, id quod, ut alia multa, contingere poteſt III, 28. περὶ τοῦ μὲν προσκαθῆσθαι, οὐδ᾽ ὁπωσοῦν ἐνδέχετο, nullo modo probabat *conſilium eius* de &c. IV, 255. — ὡς οὐκέτι ἐνδέχεται περιμένοντας, τοὺς μὲν βλάπτεσθαι ἤδη, τοὺς δὲ &c. *res noſtrae* nullam amplius exſpectationem patiuntur &c. I, 172. ἐνδέχεται τὰς ξυμφορὰς τῶν πραγμάτων οὐχ ἧσσον ἀμαθῶς χωρῆσαι, ἢ καὶ τὰς διανοίας τοῦ ἀνθρώπου, uſu venire ſolet I, 199. ita, ταῖς τύχαις ἐνδέχεσθαι σφάλλεσθαι τοὺς ἀνθρώπους II, 139. τὸ ναυτικὸν τέχνης ἐστὶν, καὶ οὐκ ἐνδέχεται ἐκ παρέργου μελετᾶσθαι, ἀλλὰ μᾶλλον &c. I, 205. Ulpian. ad Demoſth. στεφ. 359, 2. Th. Magiſt.

ἔνδηλος. καίπερ οὐ βουλόμενοι ἔνδηλοι εἶναι τοῖς Ἀθηναίοις, ἐπρεσβεύοντο παρ᾽ αὐτοὺς, καὶ ἐπειρῶντο τήν τε Πύλον καὶ τοὺς ἄνδρας κομίζεσθαι III, 64. ἐπειδὰν ξυμβεβήκει ἔνδηλόν τι ποιεῖν τοῖς Ἀθηναίοις βεβαιότητος πέρι III, 198. τοὺς ἀγγέλλοντας τὰ τοιαῦτα, καὶ περιφόβους ὑμᾶς ποιοῦντας, τῆς ἀξυνεσίας θαυμάζω, εἰ μὴ οἴονται ἔνδηλοι εἶναι IV, 61. — μήτε ἔνδηλοί ἐστε τοῖς παροῦσι πόνοις βαρυνόμενοι II, 96. 219.

ἐνδηλότατος. καὶ μάλιστά τε πάντων καὶ ἐνδηλότατα προὔλεγον, τοῖς τὸ — ψήφισμα καθελοῦσι μὴ ἂν γενέσθαι πόλεμον I, 197.

ἔνδημος. ὀμνύντων δὲ ἡ βουλὴ καὶ αἱ ἔνδημοι ἀρχαὶ III, 283.

ἐνδημότατος. ὄκνοι πρὸς μελλητὰς, καὶ ἀποδημηταὶ πρὸς ἐνδημοτάτους I, 98.

ἐνδιατρίβω. τὰς προσβολὰς ηὐτρεπίζοντο, καὶ ἄλλως ἐνδιέτριψαν χρόνον περὶ αὐτὴν (Οἰνόην) II, 33. 210. ἐνδιατριβόντων αὐτῶν, ἔτυχεν ἡ μάχη αὔτη γενομένη III, 225. ἐς μάχην ξυνετάσσετο, ἕως ἐνδιατρίβων κυκλοῦται ὑπ᾽ αὐτῶν IV, 314.

ἐνδίδωμι. χρόνον πολὺν ἀντεῖχον, οὐκ ἐνδιδόντες ἀλλήλοις III, 67. λύγξ ἐνέπιπτε κενὴ σπασμὸν ἐνδιδοῦσα ἰσχυρὸν II, 73. οὐκ ἐνδώσομεν πρόφασιν οὐδενὶ κακῷ γενέσθαι II, 141. εἴκτω ἐνδῶτε II, 220. D. Halic. 545, 37. 96, 6. ὡς τῷ — Δημοσθένει τὰ ἐν τοῖς Βοιωτοῖς ἐνεδίδοτο, cum res eſſent tradendae III, 131. ἔπραξεν ὅπως ἐνδοθήσεται ἡ πόλις III, 153. 155. 194. V, 5. ἦν γάρ τι βουλόμενον τοῖς Ἀθηναίοις τὰ πράγματα ἐνδοῦναι IV, 252. παρ᾽ ἐλπίδα τοῦ αὐχήματος σφαλλόμενοι, παρὰ ἰσχὺν τῆς δυνάμεως ἐνδιδόασιν IV, 283. πεφύκασιν οἱ ἄνθρα-

ποι τοῖς μὲν ἑκουσίως ἐνδοῦσιν ἀνθησσᾶσθαι μεθ' ἡδονῆς, πρὸς δὲ &c. III, 30. — πειρώμενοι, οἱ μὲν ἐξελάσασθαι ἐκ τοῦ μετεώρου, οἱ δὲ μὴ ἐνδοῦναι III, 57. — γνοὺς ὅτι ὁποσονοῦν μᾶλλον ἐνδώσουσι, διαφθαρησομένους αὐτοὺς ὑπὸ τῆς σφετέρας στρατιᾶς, ἔπαυσαν τὴν μάχην, quo magis cederent III, 58. vid. Not. ἐθάρσυνέ τε, καὶ οὐκ εἴα τῷ γεγενημένῳ ἐνδιδόναι IV, 114. καὶ ἐν αὐτῷ τῷ ἀμύνασθαι καὶ παθεῖν, μᾶλλον ἡγησάμενοι, ἢ τῷ ἐνδόντες σωθήσεσθαι II, 64. ὁ δὲ δῆμος — μὴ εἶναι ἄλλην σωτηρίαν δείσας, ἐνέδωκε, ceſſit V, 83. οὐ πρότερον ἐνέδοσαν ἢ ἐν σφίσι κατὰ τὰς ἰδίας διαφορὰς περιπεσόντες ἐσφάλησαν II, 101. i. e. ἐμαλακίσθησαν.

ἔνδοθεν. ἐλπίσας μᾶλλον ἂν χειρωθῆναι σφίσι, διὰ τὸν ἔνδοθέν τε καὶ ἔξωθεν γενησόμενον θόρυβον V, 108. τὰ ἔνδοθεν οὐχ ὁπωστιοῦν ἐκίνησαν V, 109.

ἐνδοιάζω. — οὕτω οἵ τε ὑπάρχοντες ὑμῖν φίλοι θαρσήσουσι μᾶλλον, καὶ οἱ ἐνδοιάζοντες, ἀδεέστερον προσίασι IV, 145. — ὃ καὶ λόγῳ ἐνδοιασθῆναι αἰσχρὸν τῇ Πελοποννήσῳ I, 170. hoc eſt. λογισμῷ ἀμφιβάλλειν, non, ut vertit Steph. in dubium veniſſe. Philo Vita Moſ. οὐκ ἐνδοιάζουσι μόνον ἀλλὰ καὶ ἀπιστοῦσιν. D. Halic. ἐνδοιαζόμενον πρᾶγμα 465, 8. vid. Aretaeum.

ἐνδοιαστῶς. — εἰ οἱ — ἔτη τοσαῦτα ἀφεστῶτες ἡμῶν, ἔτι ἀχείρωτοί εἰσι, καὶ ἄλλοι τινὲς κατὰ τὰς ἠπείρους, ἐνδοιαστῶς ἀκροῶνται, dubie parent IV, 20.

ἔνδον. ὡς οὐδὲν αὐτῷ ἀπὸ τῶν ἔνδον ὡς προσεδέχετο ἀπέβαινεν, ἡσύχαζεν III, 154. vid. ἔνδοθεν.

ἐνδύω. οὐκέτι ἠδύνατο ἐν τῷ καθεστῶτι τρόπῳ βιοτεύειν, ἀλλὰ σκευὰς Μηδικὰς ἐνδυόμενος — ἐξῄει, cultu Medico ornatus I, 182. ὅπλα D. Halic. 592, 34.

ἐνέδρα. μάχη οὐδεμία ἐγένετο ἐκ παρασκευῆς, ἐνέδραι δὲ καὶ καταδρομαὶ III, 295. ἔτυχον δύο φυλαὶ — ἐνεδραν τινὰ πεποιημέναι II, 302.

ἐνεδρεύω. — οἱ περίπολοι ἐνήδρευσαν ἐς τὴν Ἐνυάλιον III, 97. Dionyſ. Halicarn. 606, 9.

ἐνείδω. — ὅπερ καὶ ἐν τῷ Παυσανίᾳ ἐνεῖδον I, 135. ἃ δὲ ἀρωγὰ ἐνείδομεν ἐπὶ τῇ τοῦ λιμένος στενότητι, πρὸς τὸν μέλλοντα ὄχλον τῶν νεῶν ἔσεσθαι, — πάντα ἡτοίμασται IV, 272. Plato.

ἐνείλλω. ἐν ταρσοῖς καλάμου πηλὸν ἐνείλλοντες, ἐσέβαλλον &c. involventes II, 116. Diodor. 158 d.

ἔνειμι. — ἐνῆσαν γὰρ καὶ οὓς οὐκ ἂν ποτέ τις ᾤετο ἐς ὀλιγαρχίαν τραπέσθαι, inerant V, 101. ἀμέλειά τις ἐνῆν καὶ διατριβὴ τῶν πάντων III, 266. στάσιν ἐνέσεσθαι τῇ γνώμῃ II, 36. — εἰκὸς, ἐκπολιορκήσειν τὸ χωρίον, σίτου οὐκ ἐνόντος III, 13. ἐν τούτῳ τὰ ἐνόντα ἀγαθὰ σκοπεῖτε III, 31. τὴν πόλιν κατέκαυ-

σαν, καὶ τὰ ἐνόντα ἐξεπόρθησαν III, 84. περὶ μὲν τοῦ πολεμεῖν; ὡς χαλεπὸν, τί ἂν τις πᾶν τὸ ἐνὸν ἐκλέγων — μακρηγοροίη; III, 86. — πᾶσιν εἶναι καθεστηκὸς, ἰόντας ἐπὶ τὴν ἀλλήλων, τῶν ἐνόντων ἱερῶν ἀπέχεσθαι III, 144.

ἕνεκα. διότι οὐκ ἦλθον, πολλαχῇ εἰκάζεται· οἱ μὲν γὰρ, ἵνα —, ἄλλοι δ', ὡς καταβοῆς ἕνεκα τῆς ἐς Λακεδαίμονα, τὸ λέγεσθαι ὡς οὐκ ἀδικεῖ· ut rumor perveniret ad Lacedaem. ut diceretur *ibi* non iniuſte feciſſe &c. V, 136. οὐδὲν αὐτῷ ἐπράσσετο, ὧν ἕνεκα ἐσέβαλε II, 166. III, 91. II, 255. 268. V, 136. ὅσον ἀπὸ βοῆς ἕνεκα, ὠργίζετο τοῖς ὁπλίταις, voce tenus V, 148. nuſquam εἵνεκα, inquit Th. Magiſter. Plato & Demoſth. vid. Homer. Iliad. α', in init.

ἐνεργός. — νῆες ἅμ' αὐτοῖς ἐνεργοὶ κάλλει ἐγένοντο, hoc eſt, remiges &c. II, 193. ἐνεργὸς ἦν περὶ ταῦτα D. Halic. 253, 35.

ἐνευδαιμονέω. οἷς ἐνευδαιμονῆσαί τε ὁ βίος ὁμοίως καὶ ἐντελευτῆσαι ξυνεμετρήθη II, 67.

ἐνθάδε. ἐν τῇ ἐνθάδε ἠναγκασμένῃ ἀπὸ τῶν νεῶν πεζομαχίᾳ πρόσφορα ἔσται (ἡ βαρύτης τῶν νεῶν) IV, 277.

ἔνθεν. ὁδὸς ἔνθεν καὶ ἔνθεν, hinc & inde via; *undique* IV, 314. ἔνθεν καὶ ἔνθεν ἀρξάμενοι II, 117.

ἐνθένδε ἄρχεται ὁ πόλεμος τῶν Ἀθηναίων καὶ Πελοποννησίων, hinc II, 1.

ἐνθυμέω. κράτιστος ἐνθυμηθῆναι γενόμενος V, 103. ἐνθυμηθέντες ἃ εἰκὸς ἦν αὐτοὺς ποιῆσαι κρατήσαντας ἡμῶν II, 229. ἐνθυμεῖται οὐδεὶς ὅμοια τῇ πίστει, καὶ ἔργῳ ἐπεξέρχεται I, 167. — οὐκ ἐντεθύμηται θράσει ἀπίστῳ ἐπαιρόμενος I, 166. ἐνθυμούμενοι τὰς ἐν ταῖς μάχαις ξυμφορὰς, reputantes III, 255. IV, 93.

ἐνθύμησις. δείσας κατὰ ἐνθύμησίν τινα, ὅτι οὐδεὶς &c. ſuſpicione I, 186.

ἐνθυμία. — Πλειστοάναξ ἐς ἐνθυμίαν τοῖς Λακεδ. ἀεὶ προσβαλλόμενος, ὁπότε τι πταίσειαν, quaſi religio iniiceretur III, 229.

ἐνθύμιος. ἐτύγχανε πανσέληνος οὖσα, καὶ οἱ Ἀθηναῖοι ἐπισχεῖν ἐκέλευον τοὺς στρατηγοὺς, ἐνθύμιον ποιούμενοι, hoc eſt, δεισιδαιμονήσαντες IV, 258. Antiphon. in Apol. ἡμῖν προστρόπαιος ἔσται, ὑμῖν δ' ἐνθύμιος γενήσεται. Herodot. ἐνθύμιον οἱ ἐγένετο ἐμπρήσαντι τὸ ἱερόν. apud Homer. & Sophocl. pro eo, de quo multum & cum dolore cogitamus; διὰ φροντίδος Schol. Homer. Heſychius σεμνὸν reddit. ἐνθύμιον *chamah* LXX. vid. Schol. Sophocl. ed. Steph. p. 334. Herodotus etiam ἐνθυμιστόν. Π. II, 175.

ἐνιαύσιος. — ἐκεχειρίαν ἐποιήσαντο ἐνιαύσιον Λακ. καὶ Ἀθην. III, 171. D. Halic. 119, 47 &c.

ἐνιαυτός. αἱ σπονδαὶ ἐνιαυτὸν ἔσονται. omitt. praepoſit. III,

175. — κατὰ θέρη καὶ χειμῶνας ἀριθμῶν, εὑρήσει ἐξ ἡμισείας ἑκατέρου, τοῦ ἐνιαυτοῦ τὴν δύναμιν ἔχοντος, δέκα μὲν θέρη &c. III, 238. κατ' ἐνιαυτὸν ἦρξε I, 131.

ἐνίημι. μηχανῆς μελλούσης προσάξεσθαι, ἀφ' ἧς πῦρ ἐνήσειν διενοοῦντο ἐς τὰ ξύλινα παραφράγματα III, 169.

ἐνίστημι. — ἡσυχῇ ἄπωθεν περιμένειν, καὶ ἤν τις ἐνίστηται τοῖς ποιουμένοις, μὴ ἐπιτρέπειν V, 106. D. Halic. 103, 7.

ἐνναταῖος. διεφθείροντο οἱ πλεῖστοι ἐνναταῖοι καὶ ἑβδομαῖοι ὑπὸ τοῦ ἐντὸς καύματος, intra nonum, aut etiam ſeptimum diem II, 74.

ἐννέα. — μέμνημαι, καὶ ἀρχομένου τοῦ πολέμου, καὶ μέχρις οὗ ἐτελεύτησε, προφερομένον ὑπὸ πολλῶν, ὅτι τρὶς ἐννέα ἔτη δέοι γενέσθαι αὐτὸν III, 245.

ἔννομος. ὀνόματι ἐννόμῳ ξυμμαχίας, τὸ φύσει πολέμιον εὐπρεπῶς ἐς τὸ ξυμφέρον καθίσταντι III, 87. τί καὶ βούλεσθε, ὦ νεώτεροι; πότερον ἄρχειν ἤδη; ἀλλ' οὐκ ἔννομον &c. IV, 65 ſq.

ἐνοικοδομησάμενοι τεῖχος II, 296.

ἐνοράω. εἴτις στρατηγὸς ἐν αὐτῷ (πολέμῳ) φυλάσσοιτο, καὶ τοῖς πολεμίοις ἐνορῶν ἐπιχειροίη, πλεῖστ' ἂν ὀρθοῖτο II, 212.

ἔνορκος. ὡς ἔνορκοι ὄντες κατὰ τὸ ἀμφοτέρους δέχεσθαι; quod cautum eſſet de utriſque recipiendis II, 112.

ἔνσπονδος. δεινὸν εἰ τοῖσδε μὲν ἀπὸ τῶν ἐνσπόνδων ἔσται πληροῦν τὰς ναῦς, ex foederatis civitatibus claſſem inſtruere I, 53. 61. οὐκ εἰκὸς ἦν αὐτοὺς (Ἀθηναίους), οὓς μὲν ἐνσπόνδους μεθ' ἡμῶν ἐποιήσαντο, καταστρέψασθαι, τοὺς δὲ ὑπολοίπους μὴ δρᾶσαι τοῦτο II, 185. D. Halic. 131, 29.

ἐνστρατοπεδεύω. ὁ χῶρος ἐπιτήδειος ἐφαίνετο ἐνστρατοπεδεῦσαι II, 35. D. Halic. 724, 14.

ἐντελής. τροφὴν οὐ ξυνεχῶς οὐδ' ἐντελῆ διδοὺς V, 120. μισθὸν ἐντελῆ V, 127. τὰ ἐν τῇ πόλει ἐσκόπουν, εἰ ἐντελῆ ἐστι, abſoluta & integra IV, 74. Plutarch. Pomp.

ἐντέμνω. περιέρξαντες αὐτοῦ (Βρασίδου) τὸ μνημεῖον, ὡς ἥρωΐ ἐντέμνουσι, καὶ τιμὰς δεδώκασιν, parentarunt III, 223.

ἐντὶ pro εἰσὶ, Dorice III, 326 &c. vid. εἰμί.

ἐντόνως καὶ ὀργῇ χωροῦντες, magno impetu III, 315. Ariſtophan. Ach. 666. Clemens Alexand. 178, 9.

ἐντός. — ἔφη, ἐντὸς ἡμερῶν εἴκοσιν ἢ ἄξειν Λακεδαιμονίους ζῶντας, ἢ αὐτοῦ ἀποκτενεῖν III, 46. ἐντὸς τοῦ τείχους III, 195. οἱ Πελοποννήσιοι οἱ ἐντὸς Ἰσθμοῦ II, 16. vid. ποιέω.

ἐντυγχάνω. — ἀπεκρίνατο, πολλοῦ ἂν ἄξιον εἶναι τὸν ἄτρακτον, εἰ τοὺς ἀγαθοὺς διεγίγνωσκε· δήλωσιν ποιούμενος ὅτι ὁ ἐντυγχάνων τοῖς λίθοις καὶ τοξεύμασι, διεφθείρετο, qui incidiſſent in. III, 62. Aelian. I, 27.

ἐνωμοτίαι III, 313. manipuli.

ΕΞ. ἐξ ἐναντίας καθεστήκεσαν III, 53. ἐξ ἴσου δεδιότες, προμηθείᾳ ἐπ' ἀλλήλους ἐρχόμεθα III, 91. τὸν εὖ καὶ κακῶς δρῶντα ἐξ ἴσου ἀρετῇ ἀμυνούμεθα III, 92. φυλακὰς, ὡς ἐξ ὀλίγου καὶ ἐν χειμῶνι, διέπεμπον ἐς τὰς πόλεις III, 161. καταπλαγέντες τῇ ἐξ ὀλίγου αἰφνιδίῳ αὐτῶν ἀναχωρήσει III, 309. ἢ κρύφα, ἢ φανερῶς, ἢ ἐξ ἑνός γέ που τρόπου ἀμῦναι IV, 57.

ἐξάγγελος. προφθάσας τῷ στρατεύματι ἐξάγγελος γίγνεται ὡς οἱ πολέμιοι μέλλουσιν ἐπιθήσεσθαι τῷ στρατοπέδῳ V, 79. Euripid. Hip. 776.

ἐξάγγελτος. ὅσας ἐπιτύχοιεν ξυνελάμβανον, τοῦ μὴ ἐξάγγελτοι γενέσθαι V, 22. ἐξαγγελτικὸς τῇ διανοίᾳ, Ariſtoteles Probl. ἀνεπάγγελτος Polyb. Ioſeph. 828.

ἐξάγομαι. μείζων ὁ περίβολος πανταχῇ ἐξήχθη τῆς πόλεως I, 131. muri ambitus eductus eſt.

ἐξαίρετος. τριήρεις ἐξαιρέτους ἑκατὸν ἐποιήσαντο II, 41. ἀπέκτεινον, καὶ ἐξαίρετον ἐποιήσαντο οὐδένα II, 272. D. Hal. 489, 6. Ioſeph. 509, 1061.

ἐξαιρέω. εἰ ἐβουλήθησαν τὴν Ἀμπρακίαν ἐξελεῖν, αὐτοβοεὶ ἂν εἷλον, expugnare II, 337.

ἐξαίρω. τὸ ἐπιθυμοῦν τοῦ πλοῦ οὐκ ἐξηρέθησαν ὑπὸ τοῦ ὀχλώδους τῆς παρασκευῆς, πολὺ δὲ μᾶλλον &c. IV, 41.

ἐξαλείφω. — ἔτυχε πρὸς σφᾶς ἐξαληλιμμένον τὸ τεῖχος II, 198. tectorio carebat. vid. Annotat. — τοὺς πατέρας ἐς τὸν τρίποδα δι' ἀρετὴν ἀναγράψαι, ὑμᾶς δὲ διὰ Θηβαίους ἐξαλεῖψαι, delere II, 254.

ἐξαλλάττω. προθυμούμενος ἐξαλλάττειν ἀεὶ τῶν ἐναντίων τὴν ἑαυτοῦ γύμνωσιν, aſſidue ſtudens ſubducere nudam corporis partem &c. III, 316. vid. Scholia Sophocl. 29, 62.

ἐξαναχωρέω. ὑπέφευγε τὸν πλοῦν, καὶ ἐξανεχώρει τὰ εἰρημένα III, 45.

ἐξανθέω. φλυκταίναις μικραῖς καὶ ἕλκεσιν ἐξηνθηκὸς (σῶμα), efflorescens puſtulis & ulceribus II, 73.

ἐξανίστημι. πόλις ἄλλη οὐδεμία ὑμᾶς ἂν ἐπιόντας δέξαιτο ῥαδίως, οὐδ' ἂν ἱδρυθέντας που ἐξαναστήσειε IV, 306. οὐδενὶ τρόπῳ ἔτη ἀρέσκειν ἔτι μένειν, ἀλλ' ὅτι τάχιστα ἤδη καὶ μὴ μέλλειν ἐξανίστασθαι IV, 256. vid. D. Halic. 49, 14.

ἐξαπαλλάσσω. οὐκ ἔχων ὅπως τῶν εἰρημένων ἔτι ἐξαπαλλαγῇ, ὑφίσταται τὸν πλοῦν III, 46.

ἐξαπατάω. οἱ δ' ὡς ἔγνωσαν ἐξηπατημένοι, ξυνεστρέφοντο, καὶ τὰς προσβολὰς ἀπεωθοῦντο. opinione deceptos II, 7.

ἐξαπιναίως προσπεσόντες τρέπουσι τὸ στράτευμα III, 39. I, 161. D. Halic. 352, 29. 409, 3. Philo. Hippocrat. Aretaeus.

ἐξαργυρόω. — μὴ ἀπορήσειν αὐτοὺς τροφῆς, οὐκ ἂν δέῃ τελευτῶντα τὴν ἑαυτοῦ στρωμνὴν ἐξαργυρῶσαι, lectum ad pecuniam inde cogendam vendere V, 125.

ἐξαρτάομαι. τὸ ἄλλο χωρίον ἐξήρτηται, καὶ μέχρι τῆς πόλεως ἐπικλινές ἐστι IV, 153.

ἐξαρτύομαι.— οὐδεὶς τὰ περὶ τὸ σῶμα ὅπλοις ἐξήρτυται, armis inſtructus eſt IV, 31. ναυσὶ καὶ πεζῷ ἅμα ἐξαρτυθεὶς IV, 50. ἱκανωτέραν ἡγοῦμαι Σικελίαν Πελοποννήσου πολεμῆσαι, ὅσῳ κατὰ πάντα ἄμεινον ἐξήρτυται IV, 62. πεντεκοντόροις καὶ πλοίοις μακροῖς ἐξηρτυμένα I, 24. D. Halic. 324, 27. — πρὸς ἄνδρας οἳ — θαλάσσης ἐμπειρότατοί εἰσι, καὶ τοῖς ἄλλοις ἅπασιν ἄριστα ἐξήρτυνται, hoc eſt, εὐτρεπισμένοι εἰσὶ I, 114. — κἂν τούτῳ τὰ ἡμέτερα αὐτῶν ἐξαρτύεσθαι &c. I, 116. Schol. Euripid. Hip. 1186.

ἔξειμι. ἐξεῖναι Ἀθηναίων ἀνειπεῖν γνώμην ἣν ἄν τις βούλεται V, 102. ὡς ἐξὸν αὐτοῖς τὰ ἐν Σικελίᾳ καταστρέψασθαι, quaſi penes eos fuiſſet &c. III, 95. ἐκ τοιοῦδε λογισμοῦ ἔξεστί τῳ σκοπεῖν τὸ Λακεδαιμονίων πλῆθος III, 312. vid. δόξα.

ἐξείργω. πολέμοις οἰκείοις ἐξειργόμενοι I, 163. ἢν πάνυ ἐξείργωνται πάντων, ſi harum uſu omnino prohiberentur II, 25. Dionyſius Halic. 68, 47.

ἐξεκκλησίασαν, καὶ, δόξαν αὐτοῖς, εὐθὺς ἐχώρουν &c. V, 150.

ἐξελέγχω. ἃ ἡ φύσις ὑμῶν ἀεὶ ἐβούλετο, ἐξηλέγχθη ἐς τὸ ἀληθὲς, apertiſſime patefacta redarguuntur II, 265.

ἐξεργάζομαι. ἐπειδὴ τὸ πρὸς τὸν κρημνὸν (περιτείχισμα) ἐξείργαστο IV, 161. ἔστιν ἃ καὶ ἡμίεργα, τὰ δὲ καὶ ἐξειργασμένα κατελείπετο IV, 177. Herodot. I, 165. μὴ γὰρ ἄλλό τι νομίσητε τὴν γῆν αὐτῶν ἢ ὅμηρον ἔχειν· καὶ οὐχ ἧσσον, ὅσῳ ἄμεινον ἐξείργασται I, 117. τὰ ἐπιμαχώτατα ἐξεργασάμενοι πρὶν ἐπιβοηθῆσαι III, 8. οὐδὲ γὰρ ὑμεῖς μελετῶντες αὐτὸ εὐθὺς ἐξείργασθέ πω. perfecti adepti eſtis I, 204.

ἐξέρχομαι. οὐδὲ τῆς χώρας ἐπὶ πολὺ διὰ τοὺς ἱππέας ἐξερχόμεθα IV, 189. — ἄνδρα ἐν τῇ Σπάρτῃ δοκοῦντα δραστήριον εἶναι, καὶ, ἐπειδὴ ἐξῆλθε, πλείστου ἄξιον γενόμενον, ex quo *illinc* egreſſus eſſet; de Braſida III, 121.

ἐξετάζω. πεζὸν πάντα ἐξετάσαντες, recenſentes IV, 229. οἱ Ἀθηναῖοι ἐξητάζοντο, *exercitum* luſtrarunt IV, 154. τὴν ὑπάρχουσαν ξυμμαχίαν ἐξήταζον II, 14.

ἐξέτασιν ὅπλων ἐποιήσαντο III, 110. Ulpian. ad Dem. 356.

ἐξηγέομαι. τὴν ξύγχυσιν τῶν σπονδῶν, καὶ τὰ ἔπειτα ὡς ἐπολεμήθη, ἐξηγήσομαι III, 246. — ἐκφοβήσαντες τοὺς πολλοὺς, χαλεπῶς τε καὶ ἔστιν ἃ οὐ καλῶς ἐξηγούμενοι II, 307. ἃ μετὰ χεῖρας ἔχοι οἷός τε ἐξηγήσασθαι I, 195.

ἑξῆς γέγραπται ὡς ἕκαστα ἐγίγνετο κατὰ θέρος &c. II, 3.

ἐξικω. ἔργῳ τἀναγκαῖα ἐξικέσθαι, peragere I, 97. Sophocl. Oedip. T. — τὰ πάντ' ἂν ἐξίκοι σαφῆ, pro ἀποβαίη; & *verbis perſequi* alibi.

ἐξισώσαντες τοῖς ἄλλοις, eadem facientes, quae ceteri mortales facere ſolent IV, 136. Sch. Sophocl. 170.

ἐξισταμαι. ἐγὼ μὲν αὐτός εἰμι, καὶ οὐκ ἐξίσταμαι, a ſententia decedo II, 89. D. Halic. 175, 26. ἐξίστατο τῆς ἐπὶ Πύλῳ ἀρχῆς III, 45.

ἔξοδος. ξυνέβαινε — σπονδὰς ἐπ' ἐξόδῳ εἶναι III, 227. — παρασκευάζεσθαι τὰ ἐπιτήδεια, οἷα εἰκὸς ἐπὶ ἔξοδον ἔκδημον ἔχειν, ad expeditionem II, 18. ἔξοδον ἐποιήσαντο ἐπὶ τὸ στρατόπεδον II, 179.

ἐξορκέω. ἐξορκούντων οἱ πρυτάνεις &c. III, 283. ſic, ὀμνύντων, κωλυόντων, γελώντων, κρινάντων, ἀποδόντων, ἐνεχέσθων, Attice.

ἐξορμάω. — ὀλίγοι τῶν ναυτῶν οἱ ἐξορμῶντές τε ναῦν, καὶ ξυνέχοντες τὴν εἰρεσίαν IV, 191. Schol. Sophocl. 364.

ἐξυβρίζω. μόνοι γὰρ δι' αὐτὸ (τὴν σωφροσύνην) εὐπραγίαις τε οὐκ ἐξυβρίζομεν, καὶ ξυμφοραῖς ἧσσον ἑτέρων εἴκομεν I, 118. οὐκ ἂν ἐς τόδε ἐξύβρισαν, eo petulantiae non progreſſi eſſent II, 226.

ἔξω. ἡ φυγὴ αὐτῶν ἔξω ἦν ὑπὸ τῶν Ἀθηναίων παρὰ τοῖς Πελοποννησίοις V, 97. ἐδόκουν ἐπελθόντες ἂν διὰ τάχους, πάντα ἔτι ἔξω καταλαβεῖν, εἰ μὴ διὰ τὴν ἐκείνου μέλλησιν II, 33. ὁρμισάντων ἔξω τοῦ ζεύγματος τὰ πλοῖα IV, 219. βουλόμενοι βιάσασθαι εἰς τὸ ἔξω IV, 288. βουλόμενοι τῆς ἔξω ξυμμαχίας ὑμᾶς παῦσαι II, 266. I, 17. ἔξω τῶν ἄλλων Βοιωτῶν παραβαίνοντες τὰ πάτρια II, 260. I, 18. ſic fere ἐκτός. vid. Th. Magiſt.

ἔξωθεν. τὸ μὲν ἔξωθεν ἁπτομένῳ σῶμα, οὐκ ἄγαν θερμὸν ἦν II, 73. ὅσοι ἄλλοι τῶν τετρακοσίων αὐτῶν καὶ τῶν ἔξωθεν ἦσαν ὁμογνώμονες, ᾔεσαν ἐπὶ τὰ πράγματα V, 145.

ἐξωθέω. τὰς ἄλλας (ναῦς) ἐπικαταλαβόντες, ἐξέωσαν πρὸς τὴν γῆν ὑποφευγούσας II, 147. III, 318. V, 168. Aelian. V. H. III, 17.

ΕΟ. ἑορτή. μήτε ἑορτὴν ἄλλο τι ἡγεῖσθαι ἢ τὸ τὰ δέοντα πρᾶξαι I, 99. vid. Annotat. ὑπέμενον τὴν ἑορτὴν III, 288. καὶ ἅμα ἑορτῆς οὔσης IV, 297. Schol. ἀνεσίμου ἡμέρας.

ΕΠ. ἐπαγγέλλω. τὰ Ἴσθμια ἐπηγγέλθησαν V, 17. — λέγοντες μὴ ἐπηγγέλθαι πωτ' ἐς Λακεδαίμονα τὰς σπονδὰς III, 286.

ἐπάγω. ξυμμάχους οὐδέποτε τολοιπὸν ἐπαξόμεθα, οὐδὲ διαλλακτὰς, arceſſemus III, 94. σίτῳ οἰκείῳ καὶ οὐκ ἐπακτῷ χρῶνται IV, 38. ἀνὴρ D. Halic. 120, 19. ὄμβρος Pindar.

ἐπαγωγή. ἐκ μυχοῦ τοῦ λιμένος τὰς ἐπαγωγὰς ποιήσεσθαι IV, 180. ῥᾳδίως αἱ ἐπαγωγαὶ τοῖς νεωτερίζειν τὶ βουλομένοις ἐπορίζοντο II, 288. οὐδ' οἱ ἔσπλοι ἀσφαλεῖς ἦσαν τῆς ἐπαγωγῆς τῶν ἐπιτηδείων IV, 207. alibi ἡ κατὰ θάλασσαν ἐπαγωγή. Ioſeph. 1389.

ἐπαγωγός. — διὰ τὸ ἐπαγωγὰ εἰπεῖν τὸν Βρασίδαν III, 130. ὅπως μὴ οἱ πολλοὶ ἐπαγωγὰ καὶ ἀνέλεγκτα ἐσάπαξ ἀκούσαντες ἀπατηθῶσι III, 336. ἐπαγωγὰ καὶ οὐκ ἀληθῆ IV, 16. D. Halic. 344, 13 τὸ αἰσχρὸν καλούμενον, ὀνόματος ἐπαγωγοῦ δυνάμει, ἐπεσπάσατο &c. III, 349.

ἐπαινέτης. οὐδὲν προσδεόμενοι οὔτε Ὁμήρου ἐπαινέτου, οὔτε &c. II, 62.

ἐπαινέω. ἐπαινεσάντων αὐτῶν, ἐποιοῦντο τὴν ὁμολογίαν, approbantibus III, 94. ἀπὸ τούτου τοῦ τολμήματος πρῶτος τῶν κατὰ τὸν πόλεμον ἐπῃνέθη II, 42. τὸν οὐκ ὄντα ἅπας εἴωθεν ἐπαινεῖν II, 69. ἐπαινέσαντες τοὺς λόγους, probatis ipſorum poſtulatis III, 264. V, 133.

ἔπαινος. — ἀξιωτάτους αὐτοὺς εἶναι ἐπαίνου, οἵτινες αὐτεπάγγελτοι ἐχώρησαν πρὸς τὴν ἐλευθερίαν III, 178. εἶμι ἐπὶ τὸν τῶνδε ἔπαινον II, 56. κοινῇ τὰ σώματα διδόντες, ἰδίᾳ τὸν ἀγήρων ἔπαινον ἐλάμβανον II, 66. τῶν ξὺν ἐπαίνῳ ἐποτρυνόντων ἡμᾶς ἐπὶ τὰ δεινὰ, οὐκ ἐπαιρόμεθα ἡδονῇ I, 119. D. Halic. 594, 27.

ἐπαίρω. — ἐλάχιστ' ἂν πταίοντες, διὰ τὸ μὴ τῷ ὀρθουμένῳ αὐτοῦ (τοῦ πολέμου) πιστεύοντες ἐπαίρεσθαι III, 28. νῆες ἐπαιρόμεναι τῇ νίκῃ IV, 239. ὑπὸ μεγάλου μισθοῦ ἐπαρθέντες, καὶ οἰόμενοι χρηματιεῖσθαι μᾶλλον ἢ μαχεῖσθαι, allecti IV, 191. πυνθανόμενοι τῆς τε Ἀμφιπόλεως τὴν ἅλωσιν, τήν τε (Βρασίδου) πρᾳότητα, μάλιστα ἐπήρθησαν ἐς τὸ νεωτερίζειν III, 160. δεινότητι καὶ ξυνέσεως ἀγῶνι ἐπαιρομένους II, 222. ἡ τύχη — ξυμβάλλεται ἐς τὸ ἐπαίρειν, ad homines *ad periculum* impellendos II, 237. πρὸς τὴν ἐκ τῆς Σικελίας τῶν Ἀθηναίων μεγάλην κακοπραγίαν εὐθὺς οἱ Ἕλληνες πάντες ἐπηρμένοι ἦσαν V, 5. II, 19. σαφέστατα δ' αὐτοὺς ἐπῆρε τὰ ἐν τῇ Σάμῳ τοῦ Ἀλκιβιάδου ἰσχυρὰ ὄντα V, 140. χρὴ μὴ πρὸς τὰς τύχας τῶν ἐναντίων ἐπαίρεσθαι, ἀλλὰ τὰς διανοίας κρατήσαντας, θαῤῥεῖν IV, 22. III, 226. Demoſth. στεφ.

ἐπαίτιος. — τῆς ἐπαιτίου ἀναχωρήσεως τὴν παροῦσαν ἄκαιρον προθυμίαν ἀνάληψιν βουλομένην εἶναι III, 308. v. D. Hal. 72, 2.

ἐπακούω. ἢν μὲν ἐπακούσωσί τι πρεσβευομένων ἡμῶν, ταῦτα ἄριστα, ἢν δὲ μὴ &c. I, 116.

ἐπακτός. vid. ἐπάγω.

ἐπαληθεύω. ἡ ἔκπεμψίς μου γεγένηται τὴν αἰτίαν ἐπαληθεύουσα ἣν ἀρχόμενοι τοῦ πολέμου προείπομεν, veram eſſe cauſam

declarat III, 125. D. Halic. 47, 47. τὸν λόγον πρότερον εἰρημένων ἐπηλύθευσεν V, 81. Ioſeph. 1314.

ἔπαλξις. αἱ οἰκίαι ἐπάλξεις λαμβάνουσαι ὑπῆρχον ἔρυμα III, 102. 169. πρὸς τῇ ἐπάλξει κατὰ διαδοχὴν φυλάσσοντες IV, 215. τὰς ἐπάλξεις ἀπέσυρον IV, 244.

ἐπαμφοτερίζοντα V, 130.

ἐπαναβιβάζω. κλίμακας προσθέντες ἀπὸ τοῦ τείχους τοῖς πύργοις, καὶ ἐπαναβιβάσαντες ἄνδρας πλείους II, 203.

ἐπανάγω. ὁρῶν αὐτοὺς οὐ ῥαδίως ξυντασσομένους ἐπανῆγε τὸ στρατόπεδον ἐς τὴν εὐρυχωρίαν μᾶλλον IV, 178.

ἐπαναίρω. ἠπείλησε τῷ Δωριεῖ ξυναγορεύοντι τοῖς ἑαυτοῦ ναύταις, καὶ ἐπανήρατο τὴν βακτηρίαν V, 128.

ἐπανάσεισις. ἡ διακενῆς ἐπανάσεισις τῶν ὅπλων ἔχει τινὰ δήλωσιν ἀπειλῆς III, 188.

ἐπανάστασις ἐγένετο ὑπὸ τοῦ δήμου τοῖς δυνατοῖς V, 31. vid. ἐπανίστημι.

ἐπαναχωρέω. ἡ ἄλλη στρατιὰ, ἐπεὶ ἐβιάσθη, ἐπαναχωρήσασα πρὸς τὰ μετέωρα, ἱδρύθη III, 68.

ἐπανείπω. τῶν διαφυγόντων θάνατον καταγνόντες, ἐπανεῖπον ἀργύριον τῷ ἀποκτείναντι IV, 95.

ἐπανισοῦν τοὺς Ἕλληνας πρὸς ἀλλήλους V, 89.

ἐπανίστημι. ἐπανέστησαν μᾶλλον ἢ ἀπέστησαν, bellum potius inferentes, quam defectionem facientes II, 225. ἢν ἡ δουλεία ἐπανίστηται, ſi ſervitia inſurgant III, 241.

ἐπανορθόω. τὴν δύναμιν τῆς πόλεως καίπερ πεπτωκυῖαν ἐπανορθώσοντες IV, 307.

ἐπάντης. — βαλλόμενοι ὑπὸ πολλῶν ἀπὸ τοῦ λόφου ἐπάντους ὄντος IV, 309. haud temere alibi invenias. agn. Suidas.

ἐπάρατος. ἐψηφίσαντο — μισθὸν μηδένα φέρειν μηδεμιᾷ ἀρχῇ, εἰ δὲ μὴ, ἐπάρατον ἐποιήσαντο V, 157. τὸ Πελασγικὸν καλούμενον — ἐπάρατον ἦν II, 31.

ἐπαύρεσις. — ὥστε ταχείας τὰς ἐπαυρέσεις καὶ πρὸς τὸ τερπνὸν ἠξίουν ποιεῖσθαι, ἐφήμερα τά τε σώματα καὶ τὰ χρήματα ὁμοίως ἡγούμενοι, celeriter perfruendum cenſebant &c. II, 80.

ἐπαχθὴς ἦν ἐς τοὺς πολλοὺς IV, 86.

ἐπεὶ, ἐπειδὴ &c. — I, 9. 11. 19. 27. 70. II, 120. 199. III, 57. 98. 121. 137. 138. 166. 199. IV, 82. 137. 139. 159. 161. 182. 183. 191. 204. 206. 212. 223. 229. & paſſim. ἐπειδὰν pro ἐπειδὴ ἂν. ut ἐπὰν pro ἐπεὶ ἂν, coniunctivis adhibetur. Demoſth. vid. Ulpian. 352 b. Plato pag. 18 D. 3. Francof. 1602. Apol. 30 E. 8. 31. 37 F. ἐπειδὰν II, 52 bis. 112. III, 323. IV, 282. ἄλλως τε καὶ ἐπειδὴ καὶ praeſertim poſteaquam III, 288. ἐπειδύπερ IV, 226. V, 104.

ἐπείγομαι. παρῄνει αὐτῷ μὴ ἄγαν ἐπείγεσθαι τὸν πόλεμον διαλῦσαι V, 69. D. Halic. 162, 11. ἐπὶ ἀποστάσει ἐπείγονται II, 175. αἰφνιδίως ἐπεκθεῖν, καὶ ἐπείγεσθαι ὡστάχιστα ξυμμίξαι III, 218. πῶς χρὴ πρὸς τούτους ῥαδίως πόλεμον ἄρασθαι, καὶ τίνι πιστεύσαντες, ἀπαρασκεύους ἐπειχθῆναι I, 114. τῶν ξυμμάχων ἐγκλήμασι ἐπειχθέντες I, 117. — μηδ' ἐπειχθέντες ἐν βραχεῖ μορίῳ ἡμέρας, περὶ πολλῶν σωμάτων βουλεύσωμεν I, 120. πάντα ὁμοίως κινοῦντες, ἠπείγοντο I, 131. ἠπείγετο προκατάσχεῖν εἰ δύναιτο τὴν πόλιν III, 156. πολλῶν ἐπειγομένων, multis inſtantibus V, 126. vid. Aelian.

ἐπεῖπον τοιάδε, haec inſuper addiderunt I, 93.

ἐπεισαγωγή. διόπερ τὸ τεῖχος τοῦτο, καὶ πυλίδας ἔχον καὶ ἐσόδους καὶ ἐπεισαγωγὰς τῶν πολεμίων, ἐτείχιζον πρ. V, 144.

ἐπεισέρχομαι. ἐπεισέρχεται διὰ μέγεθος τῆς πόλεως ἐκ πάσης γῆς τὰ πάντα II, 58. Lucian.

ἐπεισπλέω. ἐπειδὴ οἱ Ἕλληνες πολλοὶ κατὰ θάλασσαν ἐπεισέπλεον, in Siciliam IV, 6.

ἔπειτα. πολλὴν ἂν οἶμαι ἀπιστίαν τῆς δυνάμεως τοῖς ἔπειτα πρὸς τὸ κλέος αὐτῶν εἶναι I, 17. θᾶσσον, τό, τε παραυτίκα, καὶ τὸ ἔπειτα τὰ τῆς ὁμολογίας ἐπράχθη αὐτοῖς III, 79. τοῖς πρώτοις ἀγῶσι σφαλέντες, ἔπειτα διαπαντὸς τὴν ἐλπίδα τοῦ φόβου ὁμοίαν ταῖς ξυμφοραῖς ἔχουσιν IV, 276.

ἐπεκβοηθήσαντες καὶ προσπεσόντες τοῖς πρώτοις, τρέπουσι IV, 261. ἐπεκβοηθησάντων τῶν Ἀθηναίων V, 86. neſcio an alibi.

ἐπέκεινα. ἐν τῷ ἐπέκεινα ἱδρυμένοι, in illis partibus IV, 271. — τοῦ χωρίου περιβολὴν ἔχοντος, ὥστε τὰ ἐν τῷ ἐπέκεινα αὐτοῦ γιγνόμενα μὴ κάτοπτα εἶναι V, 168. τοῦποτ. D. Halic. 183, 54. Ariſtides.

ἐπεκδρομὴν ποιησάμενοι, τρέπουσι τοῦ στρατεύματος τὸ πολὺ III, 39. ἐπεκδραμεῖν Pauſan. Plutarch.

ἐπεκθεῖν ὀξέως ἢ προσπίπτοιεν (οἱ ἐναντίοι) III, 54. Philo Vit. Moſis I. Xenophon Ἑλ. 1.

ἐπέκπλουν ποιησάμενοι V, 30.

ἐπελπίζω. ὠργίζοντο τοῖς χρησμολόγοις καὶ μάντεσι, καὶ ὁπόσοι τὶ τότε αὐτοὺς θειάσαντες ἐπήλπισαν ὡς λήψονται Σικελίαν V, 4.

ἐπεξάγω. νομίσας ἄγαν περιέχειν τοὺς Μαντινέας, τοῖς Σκιρίταις ἐσήμηνεν, ἐπεξαγαγόντας ἀπὸ σφῶν, ἐξισῶσαι τοῖς Μαντινεῦσιν. aliqua eorum manu ſubducta, *cornu ſuum* Mantineis exaequare III, 316. ἐπεξαγαγόντα τῷ πλῷ πρὸς τὴν γὴν μᾶλλον IV, 260. vid. Budaeum.

ἐπεξαγωγή. παυσάμενοι τῆς ἐπεξαγωγῆς ἤδη τοῦ κέρως, ἠμύνοντο, omiſſa contentione circumagendi cornu V, 169.

ἐπέξειμι. ἐς τὴν μάχην ἐπεξιέναι II, 24. πιστεύων ὀρθῶς γιγνώσκειν περὶ τοῦ μὴ ἐπεξιέναι, de eruptione non facienda II, 38. τὰς τῶν πολεμίων παρασκευὰς μεμφόμενοι, ἀνομοίως ἔργῳ ἐπεξιέναι I, 119. III, 195.

ἐπεξέρχομαι. τὸ πολὺ τοῦ ἔργου ἐπεξῆλθον, rem magna ex parte confecerunt II, 329. βουλόμενοι τῇ παρούσῃ τύχῃ ὡς ἐπιπλεῖστον ἐπεξελθεῖν, ἀπὸ νεῶν ἐπεζομάχουν III, 23. ταῦτα ἐπεξήλθομεν, ἵνα ὑμεῖς εἰδῆτε &c. haec longa oratione perſecuti ſumus II, 268. ἐγώ τε δείξω σὺ παραινέσαι οἷός τε ὢν μᾶλλον τοῖς πέλας, ἢ καὶ αὐτὸς ἔργῳ ἐπεξελθεῖν III, 219. ὁ παθὼν τῷ δράσαντι ἀμβλυτέρᾳ τῇ ὀργῇ ἐπεξέρχεται II, 222. ὅσον δυνατὸν ἀκριβείᾳ περὶ ἑκάστου ἐπεξελθὼν, inveſtigari I, 34. ἃ μὲν ἂν ἐπινοήσαντες μὴ ἐπεξέλθωσιν, οἰκείων στέρεσθαι ἡγοῦνται I, 98. Ἀθηναίους ἤλπιζεν — ἐπεξελθεῖν, καὶ τὴν γῆν οὐκ ἂν περιϊδεῖν τμηθῆναι II, 35. τοῖς ἐλευθέροις πολλὴ κακότης καὶ δειλία, μὴ πᾶν πρὸ τοῦ δουλεῦσαι ἐπεξελθεῖν III, 343.

ἐπεξέτασις. πρῶτον μὲν ἐπεξέτασιν τοῦ στρατεύματος, καὶ ξύνταξιν — οἱ στρατηγοὶ ἐποιήσαντο IV, 69.

ἐπέρομαι. — ἐβούλετο τριώβολον διδόναι, ἕως ἂν βασιλέα ἐπέρηται V, 46. τὸν θεὸν ἐπήροντο, conſuluerunt II, 305. Dion. Halicarn. 19, 31.

ἐπέρχομαι. τοσάδε ἐπῆλθον πολέμῳ τε καὶ διαχειρίσει πραγμάτων, ad tantum pervenerunt &c. I, 136. οἱ μὲν ἂν ὑπὸ Συρακουσίοις εὐθὺς γίγνοισθε, οἷς αὐτοὶ ἴστε οἵᾳ γνώμῃ ἐπήλθετε IV, 280. vid. ἐπηλύτην.

ἐπερωτάω. ἐπηρώτων τὸν θεὸν εἰ πολεμοῦσιν ἄμεινον ἔσται I, 164.

ἐπερώτησις. γενομένης ἐπερωτήσεως δὶς ἢ τρὶς III, 60.

ἐπεσβαίνοντες ἐς τὴν θάλασσαν ξὺν τοῖς ὅπλοις ἀνθεῖλκον ἀντιλαμβανόμενοι τῶν νεῶν III, 22. II, 147.

ἐπηλυγάζομαι. ὅπως τῷ κοινῷ φόβῳ τὸ σφέτερον ἐπηλυγάζωνται, ut publico metu ſuum occultent IV, 62. vid. Annot.

ἐπηλύτην ὄντα, quamvis peregrinus eſſet; *advena* I, 14. poëtic. Marcellinus. ἐπήλυτος D. Halicarn. 205, 19. nec var. Mſſ. ἐπηλύδων Herodotus I, Aeſchylus, & Sophocl. Steph. 724. ἔπηλυς Lycophron. 947.

ἐπήν. — ἡ πόλις ἡ πέμπουσα παρεχέτω μέχρι μὲν τριάκοντα ἡμερῶν σῖτον, ἐπὴν ἔλθῃ ἐς τὴν πόλιν τὴν ἐπαγγείλασαν βοηθεῖν, ab eo die, quo &c. III, 282.

ἐπήρεια. τοὺς φεύγοντας ἐκέλευον κατ' ἐπήρειαν δέχεσθαι αὐτοὺς I, 41. Ioſephus 597. 633. Schol. Aeſchyli 2. Ulpian. ad Demoſth. 343, 1. Diodor. 599 b. vid. Annotat.

ἐπί. — βούλονται, ἐπὶ τῷ ἡμετέρῳ ξυστήσαντες ὑμᾶς ὑπό-

πτῳ, ἄρξαι τῆς Σικελίας IV, 132. — ξυνωμοσίας, αἵπερ ἐτύγχανον πρότερον ἐν τῇ πόλει οὖσαι ἐπὶ δίκαις καὶ ἀρχαῖς, ſocietates, quae iudiciis — praeerant V, 84. ἐπὶ ἡμᾶς τραπόμενοι κατηγορίαν ἐποιήσαντο II, 260. ἐγένεσθε ἐπὶ τῇ ἡμετέρᾳ τιμωρίᾳ Ἀθ. ξύμμαχοι II, 263. εἶμι ἐπὶ τὸν τῶνδε ἔπαινον II, 56. ἀσθενεῖς καὶ ἐπὶ ῥοπῆς μιᾶς ὄντες III, 344. ἐπὶ σχεδιῶν τηρήσαντες τὸν πορθμὸν IV, 5. ὅσα ἐπὶ μεταβολῇ τις ἢ στρατιώτης ἢ ἔμπορος ἔχων ἔπλει IV, 52. ἐπὶ τούτοις παρεσκευάζοντο πάσῃ τῇ γνώμῃ, propterea IV, 73. ἡμεῖς οὐδ' ἐπὶ ἀδύνατον ἀμύνεσθαι οὕτω πόλιν ἐρχόμεθα, ἀλλὰ &c. non adeo infirmam, ut bellum illatum propulſare nequeat II, 20. ἐπὶ Χρυσίδος ἐν Ἄργει — ἱερωμένης II, 4. — ὡς ἐπὶ διαβολῇ τῇ ἑαυτοῦ γένηται τοῦτο II, 23. τὴν γῆν δημοσιώσαντες, ἀπεμίσθωσαν ἐπὶ δέκα ἔτη II, 272. αἵ τε ἄλλαι ξυντυχίαι — ἐξάγουσιν ἐς τοὺς κινδύνους· ἥ τε ἐλπὶς καὶ ὁ ἔρως ἐπὶ παντὶ, praecipue II, 237. ἐπὶ πλεῖστον ἀνθρώπων I, 4. 5. 117. οὐ γὰρ ἐπὶ τῷ δοῦλοι, ἀλλ' ἐπὶ τῷ ὅμοιοι τοῖς λειπομένοις εἶναι ἐκπέμπονται I, 52. τὰς πόλεις ἐπὶ τὸ ὑμῖν ὠφέλιμον καταστησάμενοι ἐξηγεῖσθε I, 108. τῶν πλεόνων ἐπὶ τὸ αὐτὸ αἱ γνῶμαι ἔφερον I, 113. ὡς ἑώρων ἀποθνήσκοντας ἐν τῷ ἱερῷ, ἐφ' ᾧ μηδὲν κακὸν ποιήσουσιν, ἀπαγαγόντες ἀπέκτειναν I, 176. vid. ἐφ'. ἀπεκομίσθησαν ἐπ' οἴκου III, 149. ναῦς ἐκπέμπουσι, καὶ Ἀγάθαρχον ἐπ' αὐτῶν ἄρχοντα IV, 208. καθεζομένους τινὰς ἐπὶ τῶν σεμνῶν θεῶν ἐν τοῖς βωμοῖς — διεχρήσαντο I, 176. ἐπὶ τῷ κινδύνῳ, ob impendens periculum I, 205. — τὸ στράτευμα ἐν τῷ πρόσθεν ἦν τεταγμένον ἐπὶ ὀκτὼ IV, 106. — αὐτοὺς πεφυκέναι ἐπὶ τῷ μήτε αὐτοὺς ἔχειν ἡσυχίαν, μήτε τοὺς ἄλλους ἀνθρώπους ἐᾶν I, 99. φοβούμενοι μὴ ἐπὶ μεῖζον δυνηθῶσιν I, 124. οὐκ ἐπὶ κωλύμῃ, ἀλλὰ γνώμης παραινέσει ἐπρεσβεύσαντο I, 130. ξυνέβησαν πρὸς τοὺς Λακεδαιμονίους ἐφ' ᾧ ἐξίασιν ἐκ Πελοποννήσου ὑπόσπονδοι, his conditionibus, ut &c. I, 143 & 157. οὔτε ἐκώλυον εἰ μὴ ἐπὶ βραχὺ, aliquatenus I, 163. ἐπὶ μέγα δυνάμεως ἐχώρησαν, ibid. ἡμεῖς δ' ἐπὶ τῷ τιμωρούμενοι τοὺς ἐχθροὺς — οὐκ ἄρα δαπανήσομεν, pro τιμωρήσασθαι I, 168. οὐκ ἐπ' ἀγαθῷ τὴν μονὴν ποιούμενος I, 183. — γνῶναι ἐφ' ᾧ ἐχώρει I, 188. ἐπικαλοῦντες ἐπ' ἐργασίαν Μεγαρεῦσι, Megarenſibus crimini dantes. περιττὴ ἡ πρόθεσις, inquit Schol. Stephanus ἐπεργασίαν ſcribit. ἐπὶ μεγάλῃ καὶ ἐπὶ βραχείᾳ ὁμοίως προφάσει μὴ εἴξοντες I, 201. — τὸ ἐφ' ἑαυτὸν ἕκαστος σπεύδῃ I, 202. — ἐπαγομένων αὐτοὺς ἐπ' ὠφελείᾳ ἐς τὰς ἄλλας πόλεις I, 7. ἐς τὴν Ἐπίδαμνον ἐκήρυσσον ἐπὶ τῇ ἴσῃ καὶ ὁμοίᾳ τὸν βουλόμενον ἰέναι I, 42. — τὸν πρῶτον χρόνον, ἐπί γε ἐμοῦ, Ἀθηναῖοι φαίνονται εὖ πολιτεύσαντες V, 157. ἀφικετο ἡ τριήρης, ἣν ἀπέστειλαν οἱ στρατηγοὶ ἐπὶ χρήματα καὶ ἱππέας

IV, 150. ἐπὶ κέρως ταξάμενοι V, 166. καλὸν τὸ ἀγώνισμα ἐνόμιζεν οἱ εἶναι (Γυλιππος), ἐπὶ τοῖς ἄλλοις καὶ τους ἀντιστρατήγους κομίσαι, ſi praeter cetera &c. IV, 321. περιειστήκει ἐπὶ τῷ γεγενημένῳ φόβος καὶ κατάπληξις μεγίστη δὴ V, 4. βοηθοῦντες ἐπὶ τὰς ναῦς V, 19. — φυγὴν ἐποιεῖτο ἐπὶ τῆς Σάμου V, 25. ὅσῳ ἐπεδίδου ἡ πόλις αὐτοῖς ἐπὶ τὸ μεῖζον, τόσῳ καὶ ἐκοσμοῦντο ἐχυρώτερον V, 37. — τὴν Σκάνδειαν τὸ ἐπὶ τῷ λιμένι πόλισμα παραλαβόντες III, 80. φοβούμενοι μὴ καὶ ἐπὶ μακρότερον σφισι τὶ νεωτερισθῇ τῶν κατὰ τὴν χωραν III, 63. ἐπὶ τὰ σφέτερα αὐτῶν ἕκαστοι κινούμενοι III, 114. ἐσεσιδήρωτο ἐπὶ μέγα καὶ του ἄλλου ξύλου III, 148. ἀπὸ τοῦ Ποσειδωνίου εὐθὺς ἐπὶ τὴν γέφυραν &c. III, 173. ἐπὶ τοῖς ἴσοις καὶ ὁμοίοις δίκας διδόντας III, 327. alicubi ἐπὶ ξυνωμοσίᾳ τυραννικῇ πεπρᾶχθαι. λέγοντες ξυμμαχίαν εἶναι ἥν γε οὐκ ἐπὶ τοῖς φίλοις ἐποιήσασθε &c. IV, 124. — τῶν ὑπὸ τοῦ Πεδαρίτου ἐπ' Ἀττικισμῷ τεθνεώτων V, 56. ἐπὶ τὸ ἔσχατον ἀγῶνος ἐλθεῖν III, 135. ἐπὶ μεῖζον χωρήσαντος αὐτοῦ III, 172. οὐδὲ γὰρ τῆς χώρας ἐπὶ πολὺ διὰ τοὺς ἱππέας ἐξερχόμεθα IV, 189. ἐμπόριον ἐπὶ τῷ στόματι τοῦ ποταμοῦ III, 152. ἐπ' ἀμφότερα περιρρέοντος τοῦ Στρυμόνος, ibid. vid. ἐπιπλέον-πλεῖστον-πολύ.

ἐπιβάλλω. — ὥστ' ἐπιβάλλοντας ἧσσον ἀνύτειν, ὑπαγομένου αὐτοῖς κάτωθεν τοῦ χώματος II, 117. χειρὶ σιδηρᾷ ἐπιβληθείσῃ μίαν ναῦν ἀπώλεσαι III, 37. ἀλλα ἐπιβάλλοντες αὐτοῦ ἀφέρειν οὐκ ἠδύναντο, ἐκβάλλουσι τοὺς φρουροὺς αὐτοῦ V, 174.

ἐπιβάται. ἣν τὰ ἐπὶ τουτοις οἱ ἐπιβάται ὑπουργῶσιν IV, 278. οἱ ἐπιβάται ἐθεράπευον. μὴ λείπεσθαι τὰ ἀπὸ του καταστρώματος τῆς ἀλλης τέχνης IV, 290.

ἐπιβιόω. ἐπεβίων διὰ παντὸς τοῦ πολέμου &c. III, 245.

ἐπιβλάπτω. — δείσας μὴ καὶ ἀλλο τι ἐπιβλαπτωσι V, 174.

ἐπιβοάω. αἰτούμεθα ὑμᾶς, θεοὺς τοὺς ὁμοβωμιους καὶ κοινοὺς τῶν Ἑλλ. ἐπιβοώμενοι, implorantes II, 258. πατερων τε τάφους τῶν ὑμετέρων, καὶ τὴν σφετέραν ἐρημιαν ἐπιβοώμενοι II, 269. ὧν ἐγὼ ὀρεγόμενος, καὶ διὰ ταῦτα τὰ ἴδια ἐπιβοώμενος. τὰ δημόσια σκοπεῖτε εἴτου χεῖρον μεταχειρίζω, celebris IV, 29. Suidas. ἔπειτα τῶν πρεσβυτέρων τις Ἄγιδι ἐπεβόησεν III, 308.

ἐπιβοηθέω. πρὶν δὲ πλεον τι ἐπιβοηθῆσαι ἐκ τῶν Ἀθηνῶν ναυτικὸν II, 274. πολλὰ ἀπειλήσας, ἦ μὴν μὴ ἐπιβοηθήσειν ἤν τι δέωνται V, 50.

ἐπιβόημα. ὁ δὲ, εἴτε καὶ διὰ τὸ ἐπιβόημα, εἴτε καὶ ἄλλο τι δόξαν ἐξαίφνης, πάλιν τὸ στρατευμα ἀπῆγε III, 308.

ἐπιβόητος. ὧν γὰρ πέρι ἐπιβόητός εἰμι, τοῖς μὲν προγόνοις μου, καὶ ἐμοὶ δόξαν φέρει ταῦτα IV, 27.

ἐπιβολή. τὰ ἐντὸς οὕτως ἐκαίετο ὥστε μήτε τῶν πάνυ λεπτῶν

ἱματίων καὶ σινδόνων τὰς ἐπιβολὰς, μήτ' ἄλλο τι — ἀνέχεσθαι II, 73. ξυνεμετρήσαντο ταῖς ἐπιβολαῖς τῶν πλίνθων τὸ τεῖχος αὐτῶν, contemplantes laterum ordines II, 197. τὴν ἐπιβολὴν ἐκφροντίζων, rei aggrediundae rationem excogitans II, 237. τῷ μεγέθει καὶ τῷ πάχει τοῦ τείχους τὰς τῶν πολεμίων ἐπιβολὰς ἀφιστάναι I, 132. χειρῶν σιδηρῶν ἐπιβολαὶ IV, 277.

ἐπιβούλευμα.— καταγορεύει τις ξυνειδὼς τοῖς ἑτέροις τὸ ἐπιβούλευμα III, 101. οὐδείς πω καταγνοὺς ἑαυτοῦ μὴ περιέσεσθαι τῷ ἐπιβουλεύματι, ἦλθεν ἐς τὸ δεινὸν, — ſe ex eo periculo non evaſurum II, 236. μηνυθέντος τοῦ ἐπιβουλεύματος III, 131. D. Halic. 709, 16.

ἐπιβουλεύω. (Σικελίαν) ἐλευθέραν νεμούμεθα, καὶ ὑπὸ ἄλλων ἧσσον ἐπιβουλευομένην, aliorum inſidiis minus obnoxiam III, 94. ἀναισθήτως αὐτοὺς τοὺς ξυμμάχους ἡμῶν ἐᾶν βλάπτειν, καὶ ἐπιβουλεύοντας μὴ καταφωρᾶν I, 116. πρότερον δῆλοι ἦσαν ἐπιβουλεύοντες ἡμῖν I, 199. δεινὸν ποιούμενοι εἰ τοὺς ἐπιβουλεύοντας σφῶν τῷ πλήθει μὴ εἴσονται IV, 95.

ἐπιβουλή. ἡ μὲν ἐπιβουλὴ τοιαύτη παρεσκευάζετο III, 114.— ὅπως ἢ ὁμήρων λήψει, ἢ ἄλλῳ τῳ τρόπῳ καταπαύσωσι τὴν ἐπιβουλὴν, inſidias V, 38. προηγγέλθη αὐτοῖς ἡ ἐπιβουλὴ τῶν σιδηρῶν χειρῶν IV, 281. vid. Annotat. πληγεὶς ὑπ' ἀνδρὸς τῶν περιπόλων τινὸς ἐξ ἐπιβουλῆς ἐν τῇ ἀγορᾷ πληθούσῃ V, 145.

ἐπιγίγνομαι. τοῦ ἐπιγιγνομένου θέρους III, 76. πνεύματος ἐπιγενομένου III, 48. χειμὼν ἐπιγενόμενος κατήνεγκε τὰς ναῦς ἐς &c. III, 6. ᾗ ἐκεῖνοί τε ἀνέλπιστοι ἐπιγενέσθαι ἄν τινα σφίσι πολέμιον, καὶ ἡμῶν ἡ ἀλκὴ τυγχάνει οὖσα, qua parte nullum hoſtem contra ſe venturum ſperant &c. II, 211. ἐπιγενόμενοι αὐτοῖς κατὰ νώτου, adorti II, 328. III, 40. νὺξ ἐπεγένετο τῷ ἔργῳ III, 37. αἴσθησις ταχεῖα ἐπεγένετο II, 8. εἰ ἄνεμος ἐπεγένετο τῇ φλογὶ II, 279. ἐπεγίγνετο ἄλλοις τε ἄλλοθι κωλύματα μὴ αὐξηθῆναι I, 26. ἀνάγκη δ' ὥσπερ τέχνης τὰ ἐπιγιγνόμενα ἀεὶ κρατεῖν, noviſſima I, 100. χρόνου ἐπιγιγνομένου, cum tempus protraheretur I, 175. τὴν χώραν ἀεὶ οἱ αὐτοὶ οἰκοῦντες διαδοχῇ ἐπιγιγνομένων μέχρι τοῦδε ἐλευθέραν δι' ἀρετὴν παρέδοσαν II, 55. τῶν οὐκ ὄντων λήθη οἱ ἐπιγιγνόμενοί τισιν ἔσονται, futura ſoboles defunctorum oblivionem afferet II, 48. τοσαύτη ἡ ξυμφορὰ ἐπεγεγένητο V, 155.

ἐπιγιγνώσκω. οὐ τοσοῦτον γνώμης ἁμάρτημα ἦν, ὅσον οἱ ἐκπέμψαντες, οὐ τὰ πρόσφορα τοῖς οἰχομένοις ἐπιγιγνώσκοντες II, 100.

ἐπιγραφή. ἀνδρῶν ἐπιφανῶν πᾶσα γῆ τάφος, καὶ οὐ στηλῶν μόνον ἐν τῇ οἰκείᾳ σημαίνει ἐπιγραφὴ, ἀλλὰ καὶ ἐν τῇ μὴ προσηκούσῃ ἄγραφος μνήμη II, 66.

ἐπιγράφω. ἦσαν οὐδενὸς Ἑλλήνων ἔνσπονδοι, οὐδὲ ἐπεγράψαντο ἑαυτοὺς ἐς τὰς — σπονδὰς I, 48. — πολίτας ἐπεγράψαντο πολλοὺς, multos ad ius civitatis admiſerunt III, 209.

ἐπίδειξις. ξυνέβη πρὸς σφᾶς ἔριν γενέσθαι, — καὶ ἐς τοὺς ἄλλους Ἕλληνας ἐπίδειξιν μᾶλλον εἰκασθῆναι τῆς δυνάμεως καὶ ἐξουσίας, ἢ &c. apud ceteros *hoc* potentiae potius ac magnarum opum oſtentatio. Schol. εἰκασμὸν δοῦναι.

ἐπιδημιουργοὺς ἐκπέμπειν I, 79. magiſtratus.

ἐπιδιαβὰς τάφρον τινὰ, καὶ μονωθεὶς, ἀποθνήσκει. de Lamacho IV, 163. Xenophon Ἑλ. V.

ἐπιδίδωμι. ἐς τὸ μισεῖσθαι ὑπ' αὐτῶν ἐπιδεδωκέναι V, 127. ὅσῳ ἐπεδίδου ἡ πόλις αὐτοῖς ἐπὶ τὸ μεῖζον, τόσῳ &c. V, 37. καθ' ἡμέραν ἐπεδίδοσαν μᾶλλον ἐς τὸ ἀγριώτερον IV, 94. ἐπιδώσειν ἀμφότερα αὐτὰ, haec ambo progreſſus eſſe factura IV, 115. ὁρῶν ἐπιδιδοῦσαν πολεμίων ἰσχὺν IV, 185.

ἐπιδοχή. ὄχλοις ξυμμίκτοις πολυανδροῦσιν αἱ πόλεις, καὶ ῥαδίας ἔχουσιν τῶν πολιτειῶν τὰς μεταβολὰς καὶ ἐπιδοχὰς IV, 30.

ἐπιδεῖν. — ἀφίκοντο, ἐπιδεῖν πεμψάντων Λακεδαιμονίων τὰ πράγματα III, 199. ἢν γὰρ κρατήσωμεν νῦν ταῖς ναυσὶν, ἐστί τῳ τὴν ὑπάρχουσάν που οἰκείαν πόλιν ἐπιδεῖν, reviſere IV, 276. D. Halic. 560, 17.

ἐπιδρομή. γενομένης τῆς βοῆς ἅμα τῇ ἐπιδρομῇ III, 55. τὸν ὄχλον τῶν ψιλῶν ἐσκεδασμένον ἐφόβησεν ἐπιδρομῇ III, 82. ἐγκλήματα ἔχοντες, ἐπιδρομὴν τῷ τειχίσματι παράσπονδον, καὶ ἄλλα &c. III, 34. Herodot. I, 7.

ἐπιείκεια. μήδε οἴκτῳ πλέον νείμαντες, μήτ' ἐπιεικείᾳ, πείθεσθέ μοι II, 241. ἡ ἐπιείκεια τοῦ διδάσκειν καθ' ἡσυχίαν ἀλλήλους, οὐ ψέγεται, τὰ δὲ &c. III, 336.

ἐπιεικής. ἦν παρὸν τὸ αὐτὸ δρᾶσαι πρὸς τὸ ἐπιεικὲς &c. III, 29. ἔπειθον οὓς ἴδοιεν ἀνθρώπους ἐπιεικεῖς, αὐτούς τε ἡσυχάζειν, καὶ τοὺς ἄλλους παρακατέχειν V, 150.

ἐπιζήμιος. — ἀναδιδάξαι πρῶτον, μάλιστα μὲν, ὡς καὶ ξύμφορα δέονται, εἰ δὴ μὴ, ὅτι γε οὐκ ἐπιζήμια I, 49.

ἐπίημι. — πρὸς οὓς ἐπήεσαν IV, 52. vid. ἐπιόν.

ἐπιθαλάσσια τῆς Λοκρίδος ἔτεμε II, 304. ἐμπόριον ἐπιθαλάσσιον alibi.

ἐπιθειάζω. μαρτυρουμένων, καὶ ἐπιθειαζόντων μὴ κατάγειν &c. per res divinas obteſtarentur V, 82. Ioſephus 348. Aeſchylus & Schol. 82.

ἐπιθειασμός. εἴτῳ προλείποι ἡ ῥώμη καὶ τὸ σῶμα, οὐκ ἄνευ ὀλίγων ἐπιθειασμῶν ἀπολειπόμενοι, ὥστε δάκρυσι πᾶν τὸ στράτευμα πλησθὲν, μὴ ῥᾳδίως ἀφορμᾶσθαι IV, 301.

ἐπιθεραπεύω. τὴν ἑαυτοῦ κάθοδον ἐς τὴν πατρίδα ἐπιθεραπεύων V, 72. δουλεύειν τὰ μέτρια, καὶ ἐπιθεραπεύειν, ἕως ἂν τὸν πόλεμον εὖ θῶνται V, 129.

ἐπιθυμέω. — ἀπειρίᾳ ἐπιθυμῆσαι τοῦ πολέμου I, 113. στρατηγῆσαι ἐπιθυμῶν IV, 26.

ἐπιθυμία. ἡ Βρασίδου ἀρετὴ καὶ ξύνεσις, — ἐπιθυμίαν ἐνεποίει τοῖς Ἀθηναίων ξυμμάχοις ἐς τοὺς Λακεδαιμονίους III, 122. — γνόντας ὅτι ἐπιθυμίᾳ μὲν, ἐλάχιστα κατορθοῦνται, προνοίᾳ δὲ, πλεῖστα IV, 24. ταῖς ἐπιθυμίαις μείζοσιν ἢ κατὰ τὴν ὑπάρχουσαν οὐσίαν ἐχρῆτο, maiora appetebat, quam &c. IV, 26.

ἐπίκαιρος. ὃ μὲν μάλιστα ἐγὼ νομίζω ἐπίκαιρον — εἰρήσεται IV, 57. D. Halic. 319, 44.

ἐπικαιρότατον χωρίον πρὸς τὰ ἐπὶ Θρᾴκης ἐπιχρῆσθαι, Potidaea I, 94.

ἐπικαλέω. ἐπικαλοῦντες ἐπ' ἐργασίαν Μεγαρεῦσι &c. Schol. ἐγκαλοῦντες I, 197. ἐπικαλέσαντες Ἀττικισμὸν βουλόμενοι καὶ ἀεὶ III, 199. τὸ ἀδίκημα ἐπικαλέσαντες τὸ τῶν νεῶν III, 34. II, 44.

ἐπικατάγω. — ἡ δ' ὑστέρα αὐτῆς ἐπικατάγεται, poſt aliam appellitur II, 243. vox rara.

ἐπικαταδαρθούσης (Χρυσίδος) III, 200.

ἐπικαταψεύδομαι. — καὶ ἄλλα πολλὰ ἐπικαταψευδόμενος ἔλεγεν V, 114. D. Halic. 138, 10.

ἐπικατιόντος τοῦ νοσήματος ἐς τὴν κοιλίαν II, 74.

ἐπίκειμαι. — εὐθὺς ἔλυσαν τὰς ἐπικειμένας ζημίας τῷ εἰπόντι &c. V, 24. ἐπικείμενοι λαμπρῶς, ἔτρεψαν IV, 294. ἐπεραιώθησαν ἐς τὰς ἐπικειμένας νήσους, adiacentes III, 69. — τὸν λιμένα παρατείνουσα, καὶ ἐγγὺς ἐπικειμένη III, 11. II, 44.

ἐπικέλευσις. — δι' ὀλίγου ἡ παραίνεσις — καὶ ὑπόμνησιν μᾶλλον ἔχει ἢ ἐπικέλευσιν III, 140.

ἐπικηρυκεύω. — αὐτοὺς ἐνόμιζον οὐκέτι σφίσιν ἐπικηρυκεύεσθαι III, 43. vid. Ulpianum ad Demoſth. 95, c. 151, c. 332, 2. & Schol. Euripid. Med. 738. Diodor. 236 a. ἐπεκηρυκεύετο Εὐρύλοχος Λοκροῖς τοῖς Ὀζόλαις II, 316. ἐπικηρυκευομένων ἀπὸ τῶν δυνατωτάτων ἀνδρῶν, a primoribus viris per praeconem arceſſiti V, 65.

ἐπικλάω. φείσασθαι, καὶ ἐπικλασθῆναι τῇ γνώμῃ, οἶκτον σώφρονα λαβόντας II, 257. — ἐπικλασθεῖεν τῇ γνώμῃ τὰ ὅπλα παραδοῦναι III, 58. — Callimach. Del. 107.

ἐπίκλησις. — ἀνδράσι τὰ ἄλγιστα προσέθεσαν — πόλει δὲ τῇ πάσῃ αἰσχίστην τὴν ἐπίκλησιν IV, 285.

ἐπίκλητος. — οἵ τ' ἐπίκλητοι εὐπρεπῶς ἄδικοι ἐλθόντες &c. III, 90. Herodot. I, 114.

ἐπικλινές. — ἐξήρτηται τὸ ἄλλο χωρίον, καὶ μέχρι τῆς πόλεως ἐπικλινές ἐστι IV, 153.

ἐπίκλυσις γίγνεται περὶ &c. alluvio II, 300.

ἐπικομπέω. απωθεν ἀπειλαῖς τὸ ἀνδρεῖον μελλήσει ἐπικομποῦσιν, inani minarum ſtrepitu fortitudinem ante pugnam eminus oſtentant III, 189. ὑπισχνεῖτο τάδε μέγιστα ἐπικομπῶν ὁ Ἀλκιβιάδης, cum iactatione V, 125.

ἐπικουρέω. ἢν ἡ δουλεία ἐπανίστηται, ἐπικουρεῖν Ἀθηναίους Λακεδαιμονίοις παντὶ σθένει III, 241.

ἐπικουρία. — τοῖς ἀδικουμένοις, καὶ οὐχ ἑτέρους βλάπτουσι, ἐπικουρίαν ποιήσεσθε I, 50.

ἐπικουρικός. — μισθωσάμενοι ἐκ Πελοποννήσου ἐπικουρικὸν III, 76. Πελοποννήσιοι, καὶ Τισσαφέρνους τὸ ξενικὸν ἐπικουρικὸν V, 39. — περὶ αὐτοῦ ἐπικουρικὸν ἔχων V, 85.

ἐπικούρους προσεμισθώσατο II, 50.

ἐπικρατέω. ἐπικρατήσας τὰ πλέω τοῦ πολέμου III, 29. ὑπάρχει ὑμῖν τῷ πεζῷ ἐπικρατεῖν IV, 278. εἰ μέν τινες ἴδοιεν τοὺς σφετέρους ἐπικρατοῦντας, ἀνεθάρσησαν &c. IV, 293.

ἐπικράτησις. ἡ εὐεργεσία αὕτη — παρέσχεν ὑμῖν Αἰγινητῶν ἐπικράτησιν I, 62.

ἐπικρεμάω. τοῦ ἐπικρεμασθέντος δεινοῦ ἀμνημονοῦντες II, 230. ita Herodot. IX, 32. D. Halic. 639, 32. ἐπικρέμαται θάνατος Simonides. Diodor. 380 d. φόβων.

ἐπικτάομαι. χρὴ τὰ προσήκοντα ἐπικτωμένους, μᾶλλον ἢ τὰ ἕτοιμα βλάπτοντας, ξυμμάχους ἐπάγεσθαι III, 88.

ἐπικυρόω. ὡς εἶπον, ἐπικυρῶσαι ἠνάγκασαν τὴν γνώμην, in ſuam ſententiam decretum facere &c. II, 276. πρίν τι ἐπικυρωθῆναι, ἡ ἐκκλησία ἀνεβλήθη III, 277. D. Halic. 600, 18.

ἐπιλαμβάνω. δὶς τὸν αὐτὸν οὐκ ἐπελάμβανε (νόσος) II, 76. ἐδεδοίκεσαν μὴ σφῶν χειμὼν τὴν φυλακὴν ἐπιλάβοι III, 43. νυκτὸς ἐπιλαβούσης τὸ ἔργον ῥᾷον τὸ πλῆθος διεσώθη III, 143. & alibi paſſim. D. Halic. 189, 38.

ἐπιλέγω. — ἐπιλέγοντες τεκμήρια, τὴν ἄλλην αὐτοῦ ἐς τὰ ἐπιτηδεύματα — παρανομίαν, addentes argumenta IV, 46.

ἐπιλείπω. τῷ σίτῳ ἐπιλιπόντι ἐπιέζοντο II, 197.

ἐπίλειψις. τῶν τοιούτων — ἐπίλειψις σαφὴς ἐγένετο, manifeſtus fuit defectus II, 76.

ἐπιλογισμὸς citat D. Halic. ſed Codd. περιλ. vox, inquit, Gloſſematica. ἀναλογισμὸν Lib. VIII. Plutarch. περὶ ἀδολ. & alibi.

ἐπιμαχία. ἀρκεῖν ἔφασαν τὴν πρώτην γενομένην ἐπιμαχίαν, ἀλλήλοις βοηθεῖν, ξυνεπιστρατεύειν δὲ μηδενὶ, ſubſidiariam ſocietatem III, 285.

ἐπιμαρτυρία. ἐς ἐπιμαρτυρίαν καὶ θεῶν καὶ ἡρώων κατέστη, Deos conteſtari coepit II, 114.

ἐπίμαχος. — (χωρίον) ἐκ θαλάσσης ἀπόκρημνον, καὶ ἐκ τῆς γῆς ἥκιστα ἐπίμαχον III, 50. a terra minime oppugnari poterat. — III, 56.

ἐπιμαχώτατος. τὰ ἐπιμαχώτατα ἐξεργασάμενοι III, 8. — ἐπιμαχώτατον ἦν III, 169. Dion. Halicarn. 624, 23. Aeſchylus & Schol. 89.

ἐπιμέλεια. — ὅτι ἥξει βοήθεια, καὶ ἐπιμέλεια αὐτῶν ἔσται IV, 195. φυλακὴν ἐποιοῦντο, λιμένων κλείσει, καὶ τῇ αλλῃ ἐπιμελείᾳ II, 154. περὶ τοῦ σωθῆναι ἐπιμέλειαν ἐποιοῦντο IV, 264. τὴν ἐπιμέλειαν καὶ ἐξέτασιν αὐτῶν ἡμεῖς ἕξομεν IV, 69. τὴν φυλακὴν μὴ ἀπὸ τῶν νόμων τῆς δεινότητος ἀξιοῦν ποιεῖσθαι, ἀλλ᾽ ἀπὸ τῶν ἔργων τῆς ἐπιμελείας II, 239.

ἐπιμελές. οἷς ἐπιμελὲς εἴη εἰδέναι I, 10. III, 97. τὸ στρατόπεδον τῶν Λακεδαιμονίων ἄρχοντες ἀρχόντων εἰσὶ, καὶ τὸ ἐπιμελὲς τοῦ δρωμένου πολλοῖς προσήκει III, 311. rerum ag. cura ad multos pertinet. D. Halic. 220, 18. Herodot. I, 88.

ἐπιμελέω. τὰ δὲ καὶ ἐπιμεμελήμεθα ἤδη, καὶ ὅ, τι ἂν αἰσθώμεθα, ἐς ὑμᾶς οἴσομεν IV, 69. ἅπαν τὸ πρᾶγμα ξυνθεὶς — καὶ ἐκ πλείστου ἐπιμεληθεὶς, iampridem praemeditatus fuerat *captionem* &c. V, 103.

ἐπιμεταπέμπομαι. αἰσχρὸν βιασθέντας ἀπελθεῖν, ἢ ὕστερον ἐπιμεταπέμπεσθαι, τοπρῶτον ἀσκέπτως βουλευσαμένους IV, 38. vox huic propria.

ἐπιμίγνυμι. ἐπεμίγνυντο ἀκηρυκτεὶ παρ᾽ ἀλλήλους II, 3. — μήτε ἐπιμισγομένους μηδετέρους μηδετέρωσε III, 174. ἐπιμισγομένους ἐς τὴν ξυμμαχίαν III, 173. I, 4. 23. Diod. 36 d. 56 a.

ἐπιμιξίαι ἦσαν τοῖς Ἀθηναίοις καὶ Πελοποννησίοις, commercium III, 259. Herodot. I, 68. D. Halic. 75, 45. 184, 35.

ἐπιμονή. ἡ ἐν τῷ ἰσθμῷ ἐπιμονὴ γενομένη, καὶ ἡ σχολαιότης, διέβαλεν αὐτὸν II, 33. in bonam partem Plato Cratylo. ſic ἐπίμονοι πρὸς τὸ καμεῖν, Aretaeus 37, 15.

ἐπινοέω. οἱ μέν γε — ἐπινοῆσαι ὀξεῖς, καὶ ἐπιτελέσαι ἔργῳ ὃ ἂν γνῶσιν I, 97.

ἐπίνοια. οὐ χρὴ τοὺς ἐλευθέρους ἀφισταμένους σφόδρα κολάζειν, ἀλλὰ πρὶν ἀποστῆναι, σφόδρα φυλάσσειν, ὅπως μηδ᾽ εἰς ἐπίνοιαν τούτου ἴωσι II, 244. III, 134.

ἐπιόν. ταύτην τὴν ἡμέραν καὶ τὴν ἐπιοῦσαν νύκτα ἐν φυλακῇ εἶχον αὐτοὺς οἱ Ἀθηναῖοι III, 60. τὸ ἐπιὸν ὕστερον, δεινότερον τοῖς πολεμίοις τοῦ παρόντος καὶ μαχομένου III, 218. μένειν τοὺς ἐπιόντας III, 220. πέφυκε τὸ ἀνθρώπειον ἄρχειν μὲν τοῦ εἴκοντος, φυλάσσεσθαι δὲ τὸ ἐπιὸν III, 89. — τὸ πρῶτον ὑπὸ πάσης

τῆς στρατιᾶς τειχισθεῖσα, ὕστερον φρουραῖς ὑπὸ τῶν πόλεων κατὰ διαδοχὴν χρόνου ἐπιουσῶν τῇ χώρᾳ, ἐπῳκεῖτο Decelea. ſuccedentia IV, 213. vid Thom. Magiſt.

ἐπίπαν κατέστησαν ἐπὶ ὀκτὼ, in univerſum III, 313. Herodot. VII, 158. Theophraſt. Noſter, τὸ νόσημα — τοιοῦτον ἦν ἐπίπαν τὴν ἰδέαν II, 76. Aretaeus 18, 4. Aeſchyli Schol. 234. Diodorus 64 c.

ἐπιπαριὼν τῷ δεξιῷ, cum in dextrum impreſſionem faceret III, 221. IV, 304. παριὼν pro προσελθὼν, D. Hal. 668, 7. 388, 5.

ἔπιπλα. τοῖς ἄλλοις ἃ ἦν ἐν τῷ τείχει ἔπιπλα — νεὼν ᾠκοδόμησαν, reliqua II, 272. vid. Thom. Magiſtrum & Suidam. Liban. Herodotus I, 150.

ἐπιπλεῖστον. βουλόμενοι τῇ παρούσῃ τύχῃ ὡς ἐπιπλεῖστον ἐπεξελθεῖν, quam longiſſime III, 23. ὡς ἐπιπλεῖστον γεγωνίσκων IV, 304. ὅπως ἀκούοιτο, ὡς ἐπιπλεῖστον τοῦ ὁμίλου II, 53. — πειρᾶσθαι ὑμῶν τῆς ἑκάστου βουλήσεώς τε καὶ δόξης τυχεῖν ὡς ἐπιπλεῖστον, quam maxime II, 55. θαλάσσης ἐπιπλεῖστον ἐκράτησε, maximam partem maris in ſuam poteſtatem redegit I, 8. vid. ἐπί.

ἐπιπλέον. ξυμπροθυμηθέντες ἐπιπλέον ἢ πρὶν ἀπαλλάξασθαι ταλαιπωρίας, maiore quam ante ſtudio aerumnis liberari cupiebant V, 6. ἦρξε τῇ πόλει ἐπιπλέον ἀνομίας τὸ νόσημα, maioris improbitatis initium fuit civitati II, 79. ναυτικῷ ἐπιπλέον τῶν ἄλλων ἰσχύσας I, 15. Clemens Alexandrin. 265, 3. 100, 18. 442, 2. 121, 9.

ἐπίπλευσις. — σφῶν ἐχόντων τὴν ἐπίπλευσιν ἀπὸ τοῦ πελάγους, καὶ ἀνάκρουσιν, οὐ δυνήσεσθαι αὐτοὺς &c. IV, 232.

ἐπίπλους ποιεῖσθαι V, 43. 66. II, 283. ἑκατὸν νεῶν ἐπίπλουν ἐξαρτύοντες II, 32. 83. V, 128. ἐκεῖνος τοῦ ἐπίπλου ἔπαυσε V, 132. IV, 230. vid. Ioſeph.

ἐπιπολῆς ex noſtro Ariſtides. Herodotus II, 62. pro ἑστᾶσι, Bodl. στέασι quaſi ἑστέασι.

ἐπιπολύ. πάντων ὡς ἐπιπολὺ τοῖς αὐτοῖς (ἐκπώμασι) χρωμένων IV, 75. ſic plerumque Clar. Mſ. ἐπιτοπολὺ I, 20. ὅπως μὴ διαχέοιτο ἐπιπολὺ τὸ χῶμα II, 115. 293. I, 11. IV, 205. τῆς ἡμέρας ἐπιπολὺ προσπλέοντες IV, 234. ἀνεῤῥήγνυσαν τὰς τῶν Ἀθηναίων ναῦς ἐπιπολὺ τῆς παρεξειρεσίας IV, 238. 294. III, 6. II, 186. III, 230. IV, 110. 236. V, 87. diviſim, ἐπὶ πολὺ ἐποίει τῆς δόξης ἐν τῷ τότε &c. III, 20. IV, 64. V, 18.

ἐπιπίπτω. διαῤῥοίας ἀκράτου ἐπιπιπτούσης II, 74. ἡ νόσος ἐπέπεσε τοῖς Ἀθηναίοις II, 298. ἀφράκτῳ τῷ στρατοπέδῳ ἐπιπεσόντες I, 161. ὃν ἄρτι κίνδυνον ἐκεῖθεν προεῖπον, οὐκ ἂν διὰ μακροῦ ὑμῖν ἐπιπέσοι IV, 145.

ἐπίπονος. ξυμφοράν τε οὐχ ἧσσον ἡγεῖσθαι ἡσυχίαν ἀπράγμονα, ἢ ἀσχολίαν ἐπίπονον I, 99. *ἐπιπόνῳ ἀσκήσει τὸ ἀνδρεῖον μετέρχονται* II, 58. *βραχὺ τὰ ἡμέτερα σώματα διαφθεῖραι, ἐπίπονον δὲ τὴν δύσκλειαν αὐτοῦ ἀφανίσαι* II, 255. — *ὁρῶντες τὴν φυλακὴν ἐν χωρίῳ ἐρήμῳ ἐπίπονον οὖσαν* V, 19. Hippocrates. Aretaeus. Diodor. 18 b.

ἐπιπόνως εὑρίσκετο, διότι οἱ παρόντες τοῖς ἔργοις, περὶ τῶν αὐτῶν ἔλεγον ὡς ἑκατέρους τὶς εὐνοίας ἢ μνήμης ἔχοι I, 34.

ἐπίσημος. — *ὑπαρχόντων ἔτι ἐν τῇ ἀκροπόλει ἀργυρίου ἐπισήμου ἑξακισχιλίων ταλάντων* II, 24.

ἐπισημότατος. τὸν τάφον ἐπισημότατον ἐλάμβανον, οὐκ ἐν ᾧ κεῖνται, ἀλλ' ἐν ᾧ ἡ δόξα αὐτῶν ἀνείμνηστος καταλείπεται II, 66.

ἐπισιτιζόμενοι τὸν ἄριστον V, 153.

ἐπισκεπτέον. οὐκ ἐκ τοῦ αὐτοῦ ἐπισκεπτέον ἡμῖν τοῖς ἄλλοις τὸ ἥσυχον, εἰ μὴ &c. IV, 34.

ἐπισκήπτουσιν ὑμῖν πρὸς τῶν ὅρκων &c. vobis mandant, per iusiurandum &c. II, 113. 259. D. Halic. 706, 1. Ioſeph. 764. *ἐντείλασθαι ἀνάττικον*, Moeris.

ἐπισκοπεῖν ex VIII. Priſcian. Suidas. Etymol. & Apoſtol.

ἐπισπάω. οἱ Ἀθηναῖοι ἐπισπώμενοι, ſtimulati III, 56. — *τάχα ἂν ἐπισπάσαιτο*, fortaſſe vos *in eius ſententiam* attrahet II, 235. *ὅ, τε πείσας, καὶ ὁ ἐπισπώμενος* II, 234. III, 14. *ὁ πεζὸς ἐπισπώμενος αὐτοβοεὶ* III, 207. 223. IV, 261. Ulpian. in Dem. 332, 2. Herodot. I, 103.

ἐπισπονδαὶ δεχήμεροι III, 255.

ἐπίσταμαι. — *ἐάσειν ἄρχειν ὅπη ἂν ἐπίστωνται*, pro ſcientia, qua praediti fuerint IV, 115. *ταῦτα παρ' αὐτῶν τῶν ἔργων ἐπισταμένας τὰς πόλεις* &c. V, 76. *ἐπιστάμενος τὰς Ἀθ. φύσεις* IV, 253. Herodot. I, 3. *ἀφ' ὧν ἐγὼ εἰκάζω, καὶ ἄλλων ἀκοῇ ἐπίσταμαι* III, 188. IV, 84. *ἐπισταμένοις γράφω* IV, 191. *ἐπισταμένους ἐμπειρίᾳ τὴν ναυτικὴν ἐπ' ἄλλους ἀπόβασιν* III, 16.

ἐπιστέλλω. τούτων ἐγὼ ἥδιω μὲν ἂν εἶχον ὑμῖν ἕτερα ἐπιστέλλειν, per literas ſignificare IV, 192.

ἐπιστήμη. ἡ ὑμετέρα ἐπιστήμη μετ' ἀσθενείας κρείσσων ἐστὶν ἑτέρας ῥώμης IV, 280. *ἕτερος ἑτέρου προφέρει ἐπιστήμῃ* IV, 281. *τῇ ἀνδρείᾳ οὐχ ἥσσους, ἐς ὅσον ἡ ἐπιστήμη ἀντέχοι* IV, 109. *ὑπερφρονοῦσι μὲν ἡμᾶς, ὑπομενοῦσι δὲ οὐ, διὰ τὸ τὴν ἐπιστήμην τῆς τόλμης ἥσσω ἔχειν* IV, 108. — *πάντων τὴν ἐπιστήμην ἐγγηράσεσθαι* IV, 35. — *διὰ τὸ βλάπτειν τὸ τῆς ἐπιστήμης, τῇ βαρύτητι τῶν νεῶν* IV, 277.

ἐπιστήμων. τὸ τῆς θαλάσσης ἐπιστήμονας γενέσθαι, οὐ ῥᾳδίως αὐτοῖς προσγενήσεται I, 204.

ἐπιστρατεύω. εἰώθασι οἱ τοῖς πέλας ἐπιόντες, τὸν μὲν ἡσυχάζοντα, καὶ ἐν τῇ ἑαυτοῦ μόνον ἀμυνόμενον, ἀδεέστερον ἐπιστρατεύειν, τὸν δὲ &c. III, 136.

ἐπιστροφή. ὅπως μή τις ἐπιστροφὴ γένηται, mutatio II, 277. vid. Ulpianum ad Demoſth. 134 a. Hippocr. Aretaeus.

ἐπίσχεσις. ἡ σχολαιότης διέβαλεν αὐτὸν, μάλιστα δὲ ἡ ἐν τῇ Οἰνόῃ ἐπίσχεσις, cunctatio II, 33.

